


ΕΤΟΣ Ε'. ΕΦΗΜΕΡΙΣ ΣΑΤΥΡΙΚΗ ΑΡΙΘ. 249

ΠΕΡΙΟΔΟΣ ΔΕΥΤΕΡΑ ΕΚΔΙΔΟΜΕΝΗ ΑΠΑΞ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ ΤΙΜΗ ΦΥΛΛΟΥ ΛΕΠΤΑ 10

Τιμὴ ἐτησίας συνδρομῆς προπληρωτέας διὰ μὲν τὸ Ἐσωτερικὸν δραχμαὶ νέαι 12, διὰ δὲ τὸ Ἐξωτερικὸν 20
Ἡ Διεύθυνσις τῆς ἐφημερίδος, ἐπὶ τῆς ὁδοῦ Σοφοκλέους, ὅπου τέως ἦν ὁ Ἄρειος Πάγος.

Ἐν Ἀθήναις τῇ 20 Νοεμβρίου 1883.



## ΠΡΟΦΗΤΕΙΑΣ ΚΑΙΙΕΓΑΝΟΥ ΤΟ ΑΝΑΓΝΩΣΜΑ.

.. Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις ἐκείναις ἀνατροπὴ μεγάλη. Καὶ οὐκ ἀπέμεινε Μάνδαλος ἐν θέσει αὐτοῦ καὶ ἄρχοντες Μολάων ἐν θέσει αὐτῶν. Καὶ Σταμούλης περιεβλήθη λευκὸν χιτῶνα ἀντὶ ἐρυθροῦ. Καὶ χωροφύλαξ οὐκ ἦν ἐν ταῖς ὁδοῖς, ἀλλ' ἐν θεωρείοις. Καὶ πᾶς ὡροδείκτης ἀπετάξατο τῇ Ὥρᾳ καὶ πᾶς Ροντήρης ἀναρχικὸς ἐγένετο.

Καὶ οὐκ ἦν φωνή, ἀλλὰ φωνὴ μία τοῦ Ἔθνους· καὶ οὐκ εἶχε τοῦ φαγεῖν καραμέλας καὶ βραγχνὴ ἦν ἡ φωνὴ τοῦ ἔθνους.

Καὶ ἐπληθύνθη ἡ ἀνομία ἐπὶ τῆς γῆς· καὶ ἡ εὐσέβεια κατέφυγεν εἰς τοὺς πασσάλους.

Καὶ εἶδεν ὁ Κύριος τὴν ἀνομίαν καὶ ἔπεμψεν ἄνδρα τραχὺν ἐξουσιαστήν, ὀνόματι Τρικουποδονόσορα, ὃς ἐκαθέσθη καὶ ἐβασίλευσεν ἐν χώρᾳ Βαβυλωνίας, εἰς τὰς ἐσχατιὰς Σταδίου.

Καὶ συναγαγὼν στρατὸν πολὺν ἐξ ἀποστατῶν καὶ φυγάδων, ἠπείλησε τοὺς ἐναντίους. Καὶ εἶχον οἱ ἐναντίοι πόδας καὶ χεῖρας καὶ γαστέρας· ἀλλὰ κεφαλὴν οὐκ εἶχον.

Καὶ συνεκρότησε μάχην καὶ κατετρόπωσε τοὺς ἐναντίους καὶ ἔφριξε πᾶσα ἡ γῆ ἀπὸ ἄκρου νομαρχίας ἕως ἄκρου ὑγειονομοσταθμαρχείου.

Καὶ ἡ Πρωΐα ἀνέτειλε συνεφώδης καὶ ἡ Καρτερία ἐκλονίσθη. Καὶ ἠλάλαξε Στεφανίδης ἐπὶ τῷ θριάμβῳ, καὶ προσεκύνησε Μεσσηνέζης καὶ ἔτιλε τὰς τρίχας τοῦ κρανίου του Δηλιγιάννης καὶ συναγαγὼν αὐτὰς Δημητρακάκης κατεσκεύασε τρίχινον σάκκον, ὃν περιεβλήθη ὀλοφυρόμενος.

Καὶ εἶπε Ρόκκος: Μὴ ἐπαίρου, Τρικουποδονόσορ! καὶ γὰρ ἐλεύσεται ἡμέρα καθ' ἣν ἀποτρέψει ἀπὸ σοῦ ὁ Κύριος τὴν χεῖρα, καὶ πεσεῖς καὶ μετ' ἀντιπολιτευομένων συναγελασθήσῃ.

Καὶ ὁ δυνάστης οὐκ ἠβουλήθη συνιέναι, καὶ ἀγερώχως ἐδέσποζε καὶ εὐφορία ἐπεκράτησεν ἀνὰ πᾶσαν τὴν γῆν καὶ φόροι ἐτέθησαν ἀπὸ κεράτων βοῶν ἕως ταινίας σιγαροχάρτου.

Καὶ ἀχθόμενος ὁ λαὸς ἤγειρε φωνὴν λέγων:

— Δέσποτα, ἵλεως γενοῦ ἡμῖν. Ἤτησας τὸν βοῦν καὶ τὸν παῖδα ἡμῶν καὶ ἔδομέν σοι ταῦτα· ᾔτησας τὸν οἶνον καὶ τὸ οἰνόπνευμα καὶ οὐκ ἠρνήθημεν· ᾔτησας τὸ σιγαρόχαρτον καὶ ἔλαβες αὐτό· ᾔτησας τὸν καπνὸν καὶ οὐδεὶς ἀντέστη. Ἐξορκίζομέν σε ἐπὶ τῇ Κωπαΐδι, ἵλεως γενοῦ καὶ ἐλέησον ἡμᾶς.

Καὶ ὀργισθεὶς ὁ δυνάστης ἀνεβόησεν:

— Ἐγώ εἰμι ὁ κύριός σου καὶ ἐμοὶ δουλεύσεις εἰς τὸν αἰῶνα· Καὶ τὰ τέκνα τὰ σὰ ἀνάτρεφε διὰ τὰ στελέχη μου· καὶ ζητήσεις παρ' ἐμοῦ τὸν βοῦν ἵν' ἀροτριάσῃς καὶ οὐ πιεῖς οἶνον οὐδὲ οἰνόπνευμα, ὅτι ἐγὼ κρατῶ ταῦτα καὶ οὐ καπνίσεις, ὅτι ἐμός ἐστιν ὁ καπνὸς καὶ τὸ σιγαρόχαρτον. Καὶ παρελεύσεται ἡ ἡμέρα καὶ δύσει ὁ ἥλιος, καὶ σκότος ἐπεκταθήσεται ἐπὶ τὴν γῆν· καὶ τὸν λύχνον τὸν σὸν οὐκ ἂν ἅψῃς ὅτι ἐγὼ κρατῶ τὸ πετρέλαιον· καὶ οὐκ ἂν παίξῃς σκαμβίλιον ἐν καφενείῳ, ὅτι ἐμοί ἐστιν ἡ τραπούλη. Καὶ ἀγοράσεις δράμια καπνοῦ ἐσφραγισμένου καὶ σιγαρόχαρτον ἐσφραγισμένον τῇ ἐμῇ σφραγῖδι· καὶ ποιήσεις σίγαρον πρὸς τὸ εὐφρανθῆναι καὶ οὐκ ἂν ἀνάψῃς τὸ σίγαρον, ὅτι τὰ φώσφορα ἐμά ἐστι.

Καὶ ἀθυμῶν ὁ λαὸς συνήχθη ἐπὶ τὸ αὐτὸ καὶ συνήγαγεν ἅπαν αὐτοῦ τὸ ἀργύριον καὶ ἐπέστρεψε πρὸς Τριπουκοδονόσορα καὶ εἶπε·

— Λάβε ἀργύρια καὶ δὸς ἡμῖν παιγνιόχαρτα.

Καὶ λαβὼν ἀργύρια ἔδωκεν αὐτοῖς παιγνιόχαρτα. Καὶ λαβὼν ὁ λαὸς ἐξήγαγεν ἐκ τῆς τραπούλης τὸ Τρία Κοῦπα καὶ ἔστησεν αὐτὸ ἐν τῷ μέσῳ.

Καὶ εἶπεν αὐτῷ ἐκ νέου:

— Λάβε ἀργύρια καὶ δὸς ἡμῖν πετρέλαιον.

Καὶ ἔδωκεν αὐτοῖς πετρέλαιον· καὶ ἔχυσεν ὁ λαὸς πετρέλαιον περὶ τὸ Τρία Κοῦπα.

Καὶ εἶπεν ὁ λαός:

— Λάβε καὶ τὰ ὑπολειπόμενα ἀργύρια καὶ δὸς ἡμῖν φώσφορα.

Καὶ ἔδωκεν αὐτοῖς φώσφορα. Καὶ λαβόντες προσέτριψαν αὐτὰ καὶ ἀνῆψαν τὸ πετρέλαιον καὶ μετεδόθη ἡ φλὸξ εἰς τὸ Τρία Κοῦπα καὶ ἐγένετο παρανάλωμα τοῦ πυρός. . . . . . . . . .

ΑΒΒΑΚΟΥΜ.

